δαίας τοῦ ἐκπολεμῆσαι τὴν ἄκραν τὴν ἐν Ιερουσαλημ καὶ ἐποίησεν
ἐπ᾽ αὐτὴν μηχανὰς πολλάς. 21καὶ ἐπορεύθησάν τινες μισοῦντες τὸ 21
ἔθνος αὐτῶν ἄνδρες παράνομοι πρὸς τὸν βασιλέα καὶ ἀπήγγειλαν
αὐτῷ ὅτι Ιωναθαν περικάθηται τὴν ἄκραν. 22καὶ ἀκούσας ὠργίσθη· 22
ὡς δὲ ἤκουσεν, εὐθέως ἀναζεύξας ἦλθεν εἰς Πτολεμαίδα καὶ ἔγρα-
ψεν Ιωναθαν τοῦ μὴ περικαθῆσθαι καὶ τοῦ ἀπαντῆσαι αὐτὸν αὐτῷ
συμμίσγειν εἰς Πτολεμαίδα τὴν ταχίστην. 23ὡς δὲ ἤκουσεν Ιωνα- 23
θαν, ἐκέλευσεν περικαθῆσθαι καὶ ἐπέλεξεν τῶν πρεσβυτέρων Ισραηλ
καὶ τῶν ἱερέων καὶ ἔδωκεν ἑαυτὸν τῷ κινδύνῳ· 24καὶ λαβὼν ἀρ- 24
γύριον καὶ χρυσίον καὶ ἱματισμὸν καὶ ἕτερα ξένια πλείονα καὶ
ἐπορεύθη πρὸς τὸν βασιλέα εἰς Πτολεμαίδα καὶ εὗρεν χάριν ἐναν-
τίον αὐτοῦ. 25καὶ ἐνετύγχανον κατ᾽ αὐτοῦ τινες ἄνομοι τῶν ἐκ 25
τοῦ ἔθνους. 26καὶ ἐποίησεν αὐτῷ ὁ βασιλεὺς καθὼς ἐποίησαν αὐτῷ 26
οἱ πρὸ αὐτοῦ, καὶ ὕψωσεν αὐτὸν ἐναντίον τῶν φίλων αὐτοῦ πάν-
των. 27καὶ ἔστησεν αὐτῷ τὴν ἀρχιερωσύνην καὶ ὅσα ἄλλα εἶχεν 27
τίμια τὸ πρότερον καὶ ἐποίησεν αὐτὸν τῶν πρώτων φίλων ἡγεῖ-
σθαι. 28καὶ ἠξίωσεν Ιωναθαν τὸν βασιλέα ποιῆσαι τὴν Ιουδαίαν 28
ἀφορολόγητον καὶ τὰς τρεῖς τοπαρχίας καὶ τὴν Σαμαρῖτιν καὶ ἐπ-
ηγγείλατο αὐτῷ τάλαντα τριακόσια. 29καὶ εὐδόκησεν ὁ βασιλεὺς 29
καὶ ἔγραψεν τῷ Ιωναθαν ἐπιστολὰς περὶ πάντων τούτων ἐχούσας
τὸν τρόπον τοῦτον

30Βασιλεὺς Δημήτριος Ιωναθαν τῷ ἀδελφῷ χαίρειν καὶ ἔθνει 30
Ιουδαίων. 31τὸ ἀντίγραφον τῆς ἐπιστολῆς, ἧς ἐγράψαμεν Λασθένει 31
τῷ συγγενεῖ ἡμῶν περὶ ὑμῶν, γεγράφαμεν καὶ πρὸς ὑμᾶς, ὅπως
εἰδῆτε. 32Βασιλεὺς Δημήτριος Λασθένει τῷ πατρὶ χαίρειν. 33τῷ 32 33
ἔθνει τῶν Ιουδαίων φίλοις ἡμῶν καὶ συντηροῦσιν τὰ πρὸς ἡμᾶς
δίκαια ἐκρίναμεν ἀγαθὸν ποιῆσαι χάριν τῆς ἐξ αὐτῶν εὐνοίας πρὸς
ἡμᾶς. 34ἑστάκαμεν αὐτοῖς τά τε ὅρια τῆς Ιουδαίας καὶ τοὺς τρεῖς 34
νομοὺς Αφαιρεμα καὶ Λυδδα καὶ Ραθαμιν· προσετέθησαν τῇ Ιου-
δαίᾳ ἀπὸ τῆς Σαμαρίτιδος καὶ πάντα τὰ συγκυροῦντα αὐτοῖς πᾶσιν
τοῖς θυσιάζουσιν εἰς Ιεροσόλυμα ἀντὶ τῶν βασιλικῶν, ὧν ἐλάμ-
βανεν ὁ βασιλεὺς παρ᾽ αὐτῶν τὸ πρότερον κατ᾽ ἐνιαυτὸν ἀπὸ
τῶν γενημάτων τῆς γῆς καὶ τῶν ἀκροδρύων. 35καὶ τὰ ἄλλα τὰ 35
ἀνήκοντα ἡμῖν ἀπὸ τοῦ νῦν τῶν δεκατῶν καὶ τῶν τελῶν τῶν

20 εκπολεμησαι] εκ > Spau.: cf. 46 4 28 | εποιησεν] -σαν Apau. La | επ αυτην] ν > pau., εν αυτη S*† || 21 αυτων] pr. ημων S*† || 22 περικαθησθαι] + τη ακρα Sc*L* | συμμισγειν] pr. και Sc*L* || 23 δε > S*† | επελεξεν] εξελ. S† | ιερεων] ιουδαιων S† || 26 αυτω / οι προ αυτου] tr. S† | των φιλ. αυτου / παντων SVLa†] tr. rel. || 27 των > S*† || 28 τας > S*† | τοπαρχιας] τριηραρχ. S*† | επηγγειλατο] -λαντο A† || 30 ιουδαιων] ν > A*† || 31 το > S† | ειδητε *L*] ε 1° > SA || 33 ημων] ουσιν S† | αγαθον ποιησαι] αγαθοπ. A | εξ αυτων] εαυτων A† || 34 εστακ.] + ουν A | τε > A | ραθαμ(ε)ιν SAV] ραμαθαιμ(uel -θεμ) *L* || 35 τελων] + και S*†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1133 UNIVERSITÄT LEIPZIG